ἢ πόσιν, τὸν Ἐρεχθειδᾶν antistr.
ἀρχαγόν, τὸν εὐπατρίδαν,
ποιμαίνει τις ἐν οἴκοις
κρυπτὰ κοίτα λεχέων σῶν;
ἢ ναυβάτας τις ἔπλευσεν
Κρήτας ἔξορμος ἀνὴρ
λιμένα τὸν εὐξεινότατον ναύταις,
φάμαν πέμπων βασιλεία,
λύπᾳ δ' ὑπερπαθέουσ'
εὐναία δέδεται ψυχᾶς;

φιλεῖ δὲ τᾷ δυστρόπῳ γυναικῶν
ἁρμονίᾳ κακὰ δύστανος
ἀμηχανία συνοικεῖν
ὠδίνων τε καὶ ἀφροσύνας.
δι' ἐμᾶς ᾖξέν ποτε νηδύος ἅδ' αὔρα·
τὰν δ' εὔλοχον οὐρανίαν
τόξων μεδέουσαν ἀύτευν
Ἄρτεμιν, καί μοι πολυζήλωτος αἰεὶ
σὺν θεοῖσι φοιτᾷ.

ἀλλ' ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
τήνδε κομίζουσ' ἔξω μελάθρων·

151 ἢ Lachmann | ἐρεχθειδῶν *B* 152 ἀρχὸν τὸν εὐπατρίδην *C* 153 ποιμαίνει *A*, ποιμένει *d*, πημαίνει *E*, sed η in ras., πημαίνει *aBCLP* | τίς ἔνοικος *B* 154 κρυπτᾷ κοίτᾳ libri | γε post κρυπτᾶ et τῶν ante λεχέων inseruit *l* | σῶν] fort. σου 155 ναβάτας *B* | ἔπλευσε *EBCLP* 156 ἔξορμός τις *LP* τις delevit *l* 158 φάμαν] Dindorf, φήμαν *aBCLP*, φήμην *AE* | βασίλεια* *A* (fuerat βασίλειαν), βασίλειαν *c* 159 λύπᾳ *L* η super ᾳ scr. *l* | ὑπερπαθέουσ'] E. Bruhn, ὑπὲρ παθέων libri 160 εὐναία *AEBCLP*, εὐναίᾳ *a*, schol. τῇ εὐναίᾳ λύπῃ . . γράφεται δὲ καὶ πρὸς εὐθεῖαν· ὑπὸ τῆς λύπης εὐναία ἡ Φαίδρα δέδεται | δέδεται scripto σαι super ται *E*, δέχεται *C* | ψυχᾶς] scripsi, ψυχὰ *AECL*, ψυχᾶι scripto ν super ι *a*, ψυχᾶ *BP*, ψυχὰ *B*² ἡ super ὰ scr. *b*, ψυχὰν *d*, cfr. schol. διὰ τὰ πάθη συνδέδεται αὐτῆς ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ . . ἢ αὐτὴ ἡ Φαίδρα εὐναία δέδεται τὴν ψυχήν 161 δὲ *B* ἢ superscr. *b* | δυστρόφῳ *L* π super φ scr. *l* 162 κακᾷ *AEaBL*, κακὰ *A*²*LP* | δύστανος om. *A*, supplevit *A*², δύστηνος *E* 163 ἀμηχανίᾳ *A*, ἀμαχανία Dindorf 164 ὠδύνων *A* ὠδίνων *A*² | schol. *B* τινὲς γράφουσι δυσφροσύνας 165 ἤϊξεν *LP*, ἦξεν *A*, ἦξε *EBC* | αὔρα vel αὖρα libri 167 ἀύτευν ἄρτεμιν *AE*, ἄρτεμιν ἀύτευν *BCLP*, ἄρτεμιν delet Valckenaer 168 ἀεὶ *BC* 171 τήνδ' ἐκκομίζουσ' *P*